26 OCTOMBRIE
HARALAMBOS BOUSIA
RUGĂCIUNEA
SF.MARE MUCENIC
DIMITRIE,IZVORÂTORUL DE MIR

Εὐχή εἰς τόν Μεγαλομάρτυρα ΔΗΜΗΤΡΙΟΝ

Δρ. Χαρ. Μπούσια

Ἅγιε Μεγαλομάρτυς τοῦ Χριστοῦ Δημήτριε, ὁ ἄριστος στρατιώτης τῆς παρατάξεως Κυρίου, ὁ μὴ φεισάμενος κάλλους νεανικοῦ σαρκίου καὶ δόξης ἐπιγείου, ὁ ἀλείπτης τῆς νεότητος πρὸς μάχας εὐσεβείας, ὁ παῤῥησίᾳ Χριστὸν ὁμολογήσας ἄχρι φυλακῆς καὶ βασάνων καὶ μαρτυρικοῦ τέλους, ὁ φύλαξ καὶ πρόμαχος πάντων τῶν πανευλαβῶς σε τιμώντων, ὁ ἀκέστωρ καὶ ἀρωγὸς τῶν ἀσθενούντων, ὁ τῶν νοσούντων τάχιστος ἰατρὸς καὶ τῶν δεινῶς ἀλγούντων θεραπευτής, ὁ τιμηθεὶς θεόθεν μυρο-βλυσίᾳ ἀῤῥήτῳ, Αὐτός, στεφανῖτα καλλίνικε καὶ ἀριστεῦ τοῦ σταδίου, τῆς ἀγωνιζομένης νεότητος ἀρχέτυπον καὶ στήριγμα καὶ καταφυγή, ἐπάκουσον καὶ ἡμῶν νῦν δεομένων σου καὶ ῥῦσαι τὸν ἱκέτην τῆς σῆς χάριτος (δεῖνα) πάσης δυσιάτου νόσου, δυσθυμίας καὶ παθῶν χαμαιζηλίας· δίδαξον αὐτὸν καὶ ἡμᾶς, ὡς τὸν φοιτητήν σου Νέστορα, τοῦ ποιεῖν τὸ θέλημα τοῦ Κυρίου καὶ ὁμολογεῖν Αὐτοῦ παῤῥησίᾳ τὸ πανάγιον Ὄνομα, ὡς καὶ τοῦ ἐνεργεῖν πάντα τὰ πρὸς σωτηρίαν·

ὁδήγησον αὐτὸν σὺν ἡμῖν εἰς τρίβους μετανοίας ἀπαγούσας πρὸς τὴν Βασιλείαν τῶν οὐρανῶν· ἀποδίωξον ἀπ' αὐτοῦ καὶ ἀφ' ἡμῶν πᾶν πονηρὸν καὶ ἀκάθαρτον πνεῦμα καὶ ἀνάστησον αὐτὸν καὶ ἡμᾶς ἐκ τοῦ λάκκου τῆς ῥαθυμίας καὶ τῆς κακίας· φώτισον τὴν ζωὴν τῶν προστρεχόντων σοι, ἀστραπαῖς τῆς μαρτυρικῆς σου παῤῥησίας καὶ ἀσφάλισον τὰ διαβήματα πάντων ἡμῶν, τοῦ ἀκολουθεῖν ταῖς ἐντολαῖς τοῦ Κυρίου τῆς δόξης, ὑπὲρ Οὗ καὶ μαρτυρικῶς ἐτελεύτησας. Ναί, Ἅγιε ἀριστεῦ τοῦ σταδίου, Δημήτριε Μυροβλῦτα, ἐπίβλεψον ἐπὶ τὸν νῦν προσερχόμενόν σοι(δεῖνα) καὶ ἐν εὐλαβείᾳ καὶ κατανύξει τιμῶντα τὰ σὰ παλαίσματα καὶ ἴασαι αὐτοῦ πᾶσαν νόσον καὶ πᾶσαν ἀδυναμίαν, ὡς ταχινὸς ἰατὴρ καὶ ἐνισχυτὴς εὐσυμπάθητος, ἵνα ἐν ἄμφῳ ὑγιείᾳ μακαρίζει σε ὡς θαυματουργὸν μεγάλαθλον καὶ δοξάζει τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ σὲ ἐν τῇ ἀθλήσει ἐνισχύσαντος καὶ ὯΙ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ Αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Αὐτοῦ Πνεύματι, νῦν και ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.